ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ᾽ ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ᾽ ἐς τόδ᾽ ἄλσος· οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ὁδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ᾽ ἀσκέπαρνον. ἀλλά μοι, θεαὶ,
βίου κατ᾽ ὀμφὰς τὰς Ἀπόλλωνος δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνος ἔχειν ἀεὶ
μόχθους λατρεύων τοὺς ὑπερτάτους βροτῶν.
ἴτ᾽, ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ᾽, ὦ μεγίστης Παλλάδος καλουμέναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον
εἴδωλον· οὐ γ`ρ δὴ τό γ᾽ ἀρχαῖον δέμας.

*ΑΝ.* σίγα. πορεύονται γὰρ οἵδε δή τινες
χρόνῳ παλαιοὶ σῆς ἕδρας ἐπίσκοποι.

*ΟΙ.* σιγήσομαί τε καὶ σύ μ᾽ ἐξ ὁδοῦ τόδε
κρύψον κατ᾽ ἄλσος, τῶνδ᾽ ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν· ἐν γὰρ τῷ μαθεῖν
ἔνεστιν ηὐλάβεια τῶν ποιουμένων.

96. *μὲν νῦν* mss. 98. *εἰς* mss. *ἐς* Dind.

99. *ὑμῶν* mss. *ὑμῖν* schol. et Suidae (s. v. *νηφάλιος θυσία*) libri deteriores.

105. *μόχθοις λατρεύων τοῖς ὑπερτάτοις* mss. Dedi *μόχθους λατρεύων τοὺς ὑπερτάτους*. Sic Eur. Ion. 128. *καλόν γε τὸν πόνον — σοι λατρεύῳ*. Sed cf. Tr. 35. *λατρεύοντά τῳ*. Eur. Ion. 152. *Φοίβῳ λατρεύων*. 129. Cycl. 24. *ᾧ λατρεύομεν*.

107. *καλούμεναι* mss. Praestat, opinor, *καλουμένη* (*πόλις*).

110. *τόδ᾽* mss. Lege *τό γ᾽*. Cf. 265. *οὐ γὰρ δὴ τό γε | σῶμ᾽ οὐδὲ τἄργα τἀμά*. et ad O. R. 576. Ant. 659.

113. *ἐξ ὁδοῦ πόδα* mss. *ἐκποδὼν ὁδοῦ* Keck. *ἐξ ὁδοῦ τόδε* Martin. Recte. Cf. 98. *ἐξήγαγ᾽ ἐς τόδ᾽ ἄλσος*. 505. *τοὐκεῖθεν ἄλσους — τοῦδε*. Fort. *ἐντεῦθεν* (gl. *ἐξ ὁδοῦ*).

114. *κρύψον*] *τρέψον* Karsten ad Agam. 1216.

115. *ἐν γὰρ τῷ μαθεῖν* mss. *ἐν δὲ τῷ* (aut *ἐν τῷ γὰρ*) *μαθεῖν* Elmsl. *ὡς ἐν τῷ μαθεῖν* conj. Nauck. Nulla mutatione opus est. Cf. ad 664. El. 376. 409. *μαθεῖν* mss. *λαθεῖν* Bl.

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG